

KLEINE TEXTE FÜR THEOLOGISCHE VORLESUNGEN
UND ÜBUNGEN
HERAUSGEGEBEN VON HANS LIETZMANN

APOCRYPHA

I

RESTE DES PETRUSEVANGELIUMS, DER PETRUS-APOKALYPSE UND DES KERYGMA PETRI

HERAUSGEGEBEN

VON

LIC. DR. ERICH KLOSTERMANN
PRIVATDOCENTEN IN KIEL

BONN
A. MARCUS UND E. WEBER'S VERLAG
1903

Die beiden grossen bruchstücke aus dem evangelium und der apokalypse des Petrus sind zusammen mit 2 fragmenten des Henochbuchs erhalten in der pergamenthandschrift C saec. VIII (?), gefunden 1886/87 in einem grabe zu Akhmîm, jetzt im museum zu Gizeh. für die herstellung des textes kommt als grundlage allein in betracht das facsimile bei vGEBHARDT das Evangelium und die Apokalypse des Petrus 1893. auch DIETERICHS Nekyia 1893 und PREUSCHENS Antilegomena 1901 führen nicht nennenswert weiter, während PICCOLOMINIS verbesserungen (rendiconti d. r. acad. d. lincei 1899) nur selten evident sind. zur erklärung beider stücke vgl. bes.: HARNACK TU IX 2^2 1893; des evangeliums: vSCHUBERT d. Composition d. pseudopetrinischen Evangelienfragments 1893, d. Petrusevangelium (synoptische tabelle) 1893; der apokalypse: DIETERICH. die gesamte litteratur verzeichnet und bespricht EHRHARD die altchristliche Litteratur I 127 ff. 147 ff. für die kleineren fragmente aus evangelium, apokalypse und kerygma des Petrus sind die besten ausgaben der sie zitierenden schriftsteller zu grunde gelegt, Clemens Alexandrinus nach dem cod. Laur. V 3 saec. XI (L) mit verbesserungen von STÄHLIN u. a. über anzahl und abgrenzung dieser fragmente, namentlich der des kerygmas, bestehn noch meinungsverschiedenheiten, vgl. bes. ZAHN Gesch. d. nt. Kan. II 2 820, HARNACK Litt.-Gesch. I 1 25, vDOBSCHÜTZ TU XI 1 1893, HILGENFELD z. wiss. Theol. 1893 518, BARDENHEWER altkirchl. Litteratur I 411, EHRHARD I 135 ff.

in [ ] stehen nicht sicher oder gar nicht mehr gelesene buchstaben der handschrift C, in ⟨ ⟩ zusätze der herausgeber zu dem überlieferten text.

Carl Georgi, Universitäts-Buchdruckerei in Bonn.

RESTE DES PETRUSEVANGELIUMS

Das bruchstück von Akhmîm

I 1 . . . τ[ῶν] δὲ Ἰουδαίων οὐδεὶς ἐνίψατο τὰς χεῖρας· p. 2
οὐδὲ Ἡρῴδης οὐδέ τις [τ]ῶν κριτῶν αὐτοῦ. κ[αὶ μὴ] βουλη-
θέντων νίψασθαι ἀνέσ[τ]η Πειλᾶτος· 2 καὶ τότε κελεύει
Ἡρῴδης ὁ βασιλεὺς παρ[αλη]μφθῆναι τὸν κύριον, εἰπὼν
αὐτοῖς ὅτι „ὅσα ἐκέλευσα ὑμῖν ποιῆσαι αὐτῷ ποιήσατε". 5
II 3 Ἱστήκει δὲ ἐκεῖ Ἰωσὴφ ὁ φίλος Πειλάτου καὶ
τοῦ κυρίου, καὶ εἰδὼς ὅτι σταυρίσκειν αὐτὸν μέλλουσιν
ἦλθεν πρὸς τὸν Πειλᾶτον καὶ ᾔτησε τὸ σῶμα τοῦ κυρίου
πρὸς ταφήν. 4 καὶ ὁ Πειλᾶτος πέμψας πρὸς Ἡρῴδην
ᾔτησεν αὐτοῦ τὸ σῶμα· 5 καὶ ὁ Ἡρῴδης ἔφη· „ἀδελφὲ 10
Πειλᾶτε, εἰ καὶ μή τις αὐτὸν ᾐτήκει, ἡμεῖς αὐτὸν ἐθάπτομεν,
ἐπεὶ καὶ σάββατον ἐπιφώσκει. γέγραπται γὰρ ἐν τῷ νόμῳ
ἥλιον μὴ δῦναι ἐπὶ πεφονευμένῳ". καὶ παρέδωκεν αὐτὸν
τῷ λαῷ πρὸ μιᾶς τῶν ἀζύμων, τῆς ἑορτῆς αὐτῶν.
III 6 Οἱ δὲ λαβόντες τὸν κύριον ὤθουν αὐτὸν τρέ- 15
χοντες καὶ ἔλεγον· 7 „σύρωμεν τὸν υἱὸν τοῦ θεοῦ ἐξου-
σίαν αὐτοῦ ἐσχηκότες". καὶ πορφύραν αὐτὸν περιέβαλον
καὶ ἐκάθισαν αὐτὸν ἐπὶ καθέδραν κρίσεως λέγοντες· „δικαίως
κρῖνε, βασιλεῦ τοῦ Ἰσραήλ". 8 καί τις αὐτῶν ἐνεγκὼν
στέφανον ἀκάνθινον ἔθηκεν ἐπὶ τῆς κεφαλῆς τοῦ κυρίου, 20
| 9 καὶ ἕτεροι ἑστῶτες ἐνέπτυον αὐτοῦ ταῖς ὄψεσι καὶ ἄλλοι p. 3
τὰς σιαγόνας αὐτοῦ ἐράπισαν, ἕτεροι καλάμῳ ἔνυσσον αὐτὸν
καί τινες αὐτὸν ἐμάστιζον λέγοντες· „ταύτῃ τῇ τιμῇ τιμήσω-
μεν τὸν υἱὸν τοῦ θεοῦ".
IV 10 Καὶ ἤνεγκον δύο κακούργους καὶ ἐσταύρωσαν 25
ἀνὰ μέσον αὐτῶν τὸν κύριον· αὐτὸς δὲ ἐσιώπα ὡς μηδένα

---

1 Vorherging etwa καὶ ὁ Πειλᾶτος ἐνίψατο τὰς χεῖρας vgl. Mt. 27 24; Didasc. V 19; Orig. Comm. in Mt. § 124 | 2 ουδετις (nicht ουδεεις) C wie es scheint | καὶ μὴ Murray | βουληθέντων] + αὐτῶν Gebhardt | 3 Πειλατης C | 4 παραλημφθῆναι Bouriant vgl. Mt. 27 27; Jo. 19 16 παραπεμφθῆναι Manchot vgl. Justin. Dial. 40 | 7 σταυρώσειν Gebhardt Wilamowitz σταυρῶσαι Blass vgl. z. 25 s. 7 14 | 15 αυτων C | 16 σύρομεν Gebhardt ἄρωμεν Harris Wilamowitz vgl. Jes. 3, 9 σταυρῶμεν (= στρωμεν) Bennett | 17 περιεβαλλον C | 26 f. μηδεν πονον C μηδὲ πόνον Wendland μηδὲν πόνου Zahn.

πόνον ἔχων· καὶ ὅτε ὤρθωσαν τὸν σταυρὸν ἐπέγραψαν
ὅτι „οὗτός ἐστιν ὁ βασιλεὺς τοῦ Ἰσραήλ“. 12 καὶ τεθεικότες
τὰ ἐνδύματα ἔμπροσθεν αὐτοῦ διεμερίσαντο, καὶ λαχμὸν
ἔβαλον ἐπ' αὐτοῖς. 13 εἷς δέ τις τῶν κακούργων ἐκείνων
5 ὠνείδισεν αὐτοὺς λέγων· „ἡμεῖς διὰ τὰ κακὰ ἃ ἐποιήσαμεν
οὕτω πεπόνθαμεν, οὗτος δὲ σωτὴρ γενόμενος τῶν ἀνθρώ-
πων τί ἠδίκησεν ὑμᾶς“; 14 καὶ ἀγανακτήσαντες ἐπ' αὐτῷ
ἐκέλευσαν ἵνα μὴ σκελοκοπηθῇ, ὅπως βασανιζόμενος ἀποθάνῃ.

V 15 Ἦν δὲ μεσημβρία, καὶ σκότος κατέσχε πᾶσαν τὴν
10 Ἰουδαίαν· καὶ ἐθορυβοῦντο καὶ ἠγωνίων μήποτε ὁ ἥλιος ἔδυ
ἐπειδὴ ἔτι ἔζῃ· γέγραπται ⟨γὰρ⟩ αὐτοῖς ἥλιον μὴ δῦναι ἐπὶ
p. 4 πεφονευμένῳ. 16 καί τις αὐτῶν | εἶπεν· „ποτίσατε αὐτόν
χολὴν μετὰ ὄξους“· καὶ κεράσαντες ἐπότισαν. 17 καὶ
ἐπλήρωσαν πάντα καὶ ἐτελείωσαν κατὰ τῆς κεφαλῆς αὐτῶν
15 τὰ ἁμαρτήματα. 18 περιήρχοντο δὲ πολλοὶ μετὰ λύχνων
⟨καὶ⟩ νομίζοντες ὅτι νύξ ἐστι⟨ν ἀν⟩επαύσαντο. 19 καὶ
ὁ κύριος ἀνεβόησε λέγων· „ἡ δύναμίς μου, ἡ δύναμίς
⟨μου⟩, κατέλειψάς με“· καὶ εἰπὼν ἀνελήφθη. 20 καὶ αὐτο-
σώρας διεράγη τὸ καταπέτασμα τοῦ ναοῦ τῆς Ἱερου-
20 σαλὴμ εἰς δύο. VI 21 καὶ τότε ἀπέσπασαν τοὺς ἥλους
ἀπὸ τῶν χειρῶν τοῦ κυρίου καὶ ἔθηκαν αὐτὸν ἐπὶ τῆς γῆς·
καὶ ἡ γῆ πᾶσα ἐσείσθη καὶ φόβος μέγας ἐγένετο. 22 τότε
ἥλιος ἔλαμψε καὶ εὑρέθη ὥρα ἐνάτη. 23 ἐχάρησαν δὲ οἱ
Ἰουδαῖοι καὶ δεδώκασι τῷ Ἰωσὴφ τὸ σῶμα αὐτοῦ ἵνα αὐτὸ
25 θάψῃ, ἐπειδὴ θεασάμενος ἦν ὅσα ἀγαθὰ ἐποίησεν. 24 λαβὼν
δὲ τὸν κύριον ἔλουσε καὶ ⟨ἐν⟩είλησε σινδόνι καὶ εἰσή-
γαγεν εἰς ἴδιον τάφον καλούμενον κῆπον Ἰωσήφ.

VII 25 Τότε οἱ Ἰουδαῖοι καὶ οἱ πρεσβύτεροι καὶ οἱ
p. 5 ἱερεῖς γνόντες οἷον | κακὸν ἑαυτοῖς ἐποίησαν ἤρξαντο κόπ-

---

1 οτιεωρθωσαν C (?) | 5 ιωνειδησεν C | 6 οὗτος] ουτως C | 8 αποθανοι C | 10 f. ἔδυ ἐπειδὴ γέγραπται αὐτοῖς Piccolomini | 12 πεφωνευμενω C | 14 f. ἐτελείωσαν ⟨καὶ⟩ κατὰ τῆς κεραλῆς ⟨αὐτῶν κατέβησαν⟩ αὐτῶν Piccolomini vgl. Ps. 7 17; doch vgl. Orig. Comm. in Mt. § 137: et sic impleuit prophetiam in se dicentem de se: „et dederunt in escam meam fel“ etc. | 16 καὶ . . . . ἀνεπαύσαντο Gebhardt vgl. Ex. 10 23; Orig. Comm. in Mt. § 134 ἔπεσαν ⟨τε⟩ Robinson al. vgl. Amos 8 14 ⟨καὶ⟩ ἐπέσαντο Harnack ⟨καὶ ἀν⟩επέσαντο Lods ἔπταισαν Hoffmann ἐπαίσαντο Hilgenfeld μέση Piccolomini επεσαντο C | 18 μου Harnack | 18 f. αὐτῆς ὥρας etc. Robinson al. doch vgl. Usener Göttinger Nachr. ph. h. 1892 s. 45; Diels, Parmenides' Lehrgedicht s. 95 | 22 ἐγένετο] ο aus ε corr. C | 23 ⟨ὁ⟩ ἥλιος? Gebhardt | 24 αὐτοῦ ⟨ὁ δὲ ἔλαβεν⟩ ἵνα Piccolomini | ινι C | 26 ἐνείλησε Gebhardt Blass vgl. Mc. 15 46 | σινδονιν C | 28 f. και οιερεις C.

τεσθαι καὶ λέγειν· „οὐαὶ ταῖς ἁμαρτίαις ἡμῶν· ἤγγισεν ἡ κρίσις καὶ τὸ τέλος Ἱερουσαλήμ“. 26 ἐγὼ δὲ μετὰ τῶν ἑταίρων μου ἐλυπούμην, καὶ τετρωμένοι κατὰ διάνοιαν ἐκρυβόμεθα· ἐζητούμεθα γὰρ ὑπ' αὐτῶν ὡς κακοῦργοι καὶ ὡς τὸν ναὸν θέλοντες ἐμπρῆσαι. 27 ἐπὶ δὲ τούτοις πᾶσιν 5 ἐνηστεύομεν καὶ ἐκαθεζόμεθα πενθοῦντες καὶ κλαίοντες νυκτὸς καὶ ἡμέρας ἕως τοῦ σαββάτου.

VIII 28 Συναχθέντες δὲ οἱ γραμματεῖς καὶ Φαρισαῖοι καὶ πρεσβύτεροι πρὸς ἀλλήλους, ἀκούσαντες ὅτι ὁ λαὸς ἅπας γογγύζει καὶ κόπτεται τὰ στήθη λέγοντες ὅτι „εἰ τῷ 10 θανάτῳ αὐτοῦ ταῦτα τὰ μέγιστα σημεῖα γέγονεν, ἴδετε ὁπόσον δίκαιός ἐστιν“, 29 ἐφοβήθησαν καὶ ἦλθον πρὸς Πειλᾶτον δεόμενοι αὐτοῦ καὶ λέγοντες· 30 „παράδος ἡμῖν στρατιώτας, ἵνα φυλάξω⟨μεν⟩ τὸ μνῆμα αὐτοῦ ἐπὶ τρεῖς ἡμ[έρας], μήποτε ἐλθόντες | οἱ μαθηταὶ αὐτοῦ κλέψωσιν p. 6 αὐτὸν καὶ ὑπολάβῃ ὁ λαὸς ὅτι ἐκ νεκρῶν ἀνέστη, καὶ ποιήσωσιν ἡμῖν κακά“. 31 ὁ δὲ Πειλᾶτος παραδέδωκεν αὐτοῖς Πετρώνιον τὸν κεντυρίωνα μετὰ στρατιωτῶν φυλάσσειν τὸν τάφον. καὶ σὺν αὐτοῖς ἦλθον πρεσβύτεροι καὶ γραμματεῖς ἐπὶ τὸ μνῆμα· 32 καὶ κυλίσαντες λίθον μέγαν μετὰ 20 τοῦ κεντυρίωνος καὶ τῶν στρατιωτῶν ὁμοῦ πάντες οἱ ὄντες ἐκεῖ ἔθηκαν ἐπὶ τῇ θύρᾳ τοῦ μνήματος, 33 καὶ ἐπέχρισαν ἑπτὰ σφραγῖδας, καὶ σκηνὴν ἐκεῖ πήξαντες ἐφύλαξαν. IX 34 πρωίας δὲ ἐπιφώσκοντος τοῦ σαββάτου ἦλθεν ὄχλος ἀπὸ Ἱερουσαλὴμ καὶ τῆς περιχώρου ἵνα ἴδωσι τὸ μνημεῖον 25 ἐσφραγισμένον.

35 Τῇ δὲ νυκτὶ ᾗ ἐπέφωσκεν ἡ κυριακή, φυλασσόντων τῶν στρατιωτῶν ἀνὰ δύο κατὰ φρουράν, μεγάλη φωνὴ ἐγένετο ἐν τῷ οὐρανῷ, 36 καὶ εἶδον ἀνοιχθέντας τοὺς οὐρα[ν]οὺς καὶ δύο ἄνδρας | κατελθόντας ἐκεῖθεν πολὺ p. 7 φέγγος ἔχοντας καὶ ἐγγίσαντας τῷ τάφῳ. 37 ὁ δὲ λίθος ἐκεῖνος ὁ βεβλημένος ἐπὶ τῇ θύρᾳ ἀφ' ἑαυτοῦ κυλισθεὶς ἀπεχώρησε παρὰ μέρος, καὶ ὁ τάφος ἠνοίγη καὶ ἀμφότεροι οἱ νεανίσκοι εἰσῆλθον. X 38 ἰδόντες οὖν οἱ στρατιῶται ἐκεῖνοι ἐξύπνισαν τὸν κεντυρίωνα καὶ τοὺς πρεσβυτέρους 35

3 τετρυμένοι Wilamowitz | 10 εἰ] ἐπὶ Wilamowitz | 12 ὁπόσον Diels οτιποσον C | ἐφοβήθησαν] + οι πρεσβυτεροι C del. Gebhardt Wilamowitz | 14 φυλάξωσι Robinson | 17 παρέδωκεν? Zahn; vgl. s. 424 | 18 στρατιωτον C | 19 ⟨οἱ⟩ πρεσβύτεροι? Harnack | 20 μετὰ Harnack al. κατα C κατὰ ⟨πρόσταγμα⟩? Gebhardt | 22 επεχρεισαν C | 29 ανοιχθεντες C | 30 εκειθε C (Piccolomini: εκεισε) | 31 λειθος C | 33 ἀπεχώρησε Gebhardt Blass ὑπεχώρησε Robinson επεχωρεσε C | ενοιγη C.

(παρῆσαν γὰρ καὶ αὐτοὶ φυλάσσοντες), 39 καὶ ἐξηγουμένων αὐτῶν ἃ εἶδον πάλιν ὁρῶσιν ἐξελθόντας ἀπὸ τοῦ τάφου τρεῖς ἄνδρας, καὶ τοὺς δύο τὸν ἕνα ὑπορθοῦντας καὶ σταυρὸν ἀκολουθοῦντα αὐτοῖς, 40 καὶ τῶν μὲν δύο τὴν
5 κεφαλὴν χωροῦσαν μέχρι τοῦ οὐρανοῦ, τοῦ δὲ χειραγωγουμένου ὑπ' αὐτῶν ὑπερβαίνουσαν τοὺς οὐρανούς· καὶ φωνῆς ἤκουον ἐκ τῶν οὐρανῶν λεγούσης· „ἐκήρυξας τοῖς κοιμωμένοις"; 42 καὶ ὑπακοὴ ἠκούετο ἀπὸ τοῦ σταυροῦ ὅτι „ναί". XI 43 συνεσκέπτοντο οὖν ἀλλήλοις ἐκεῖνοι ἀπελ-
p. 8 θεῖν | καὶ ἐνφανίσαι ταῦτα τῷ Πειλάτῳ· 44 καὶ ἔτι διανοουμένων αὐτῶν φαίνονται πάλιν ἀνοιχθέντες οἱ οὐρανοὶ καὶ ἄνθρωπός τις κατελθὼν καὶ εἰσελθὼν εἰς τὸ μνῆμα. 45 ταῦτα ἰδόντες οἱ περὶ τὸν κεντυρίωνα νυκτὸς ἔσπευσαν πρὸς Πειλᾶτον, ἀφέντες τὸν τάφον ὃν ἐφύλασσον, καὶ
15 ἐξηγήσαντο πάντα ἅπερ εἶδον, ἀγωνιῶντες μεγάλως καὶ λέγοντες· „ἀληθῶς υἱὸς ἦν θεοῦ". 46 ἀποκριθεὶς ὁ Πειλᾶτος ἔφη· „ἐγὼ καθαρεύω τοῦ αἵματος τοῦ υἱοῦ τοῦ θεοῦ, ὑμῖν δὲ τοῦτο ἔδοξεν". 47 εἶτα προσελθόντες πάντες ἐδέοντο αὐτοῦ καὶ παρεκάλουν κελεῦσαι τῷ κεντυρίωνι καὶ
20 τοῖς στρατιώταις μηδενὶ εἰπεῖν ἃ εἶδον· 48 „συμφέρει γάρ", φασίν, „ἡμῖν ὀφλῆσαι μεγίστην ἁμαρτίαν ἔμπροσθεν τοῦ θεοῦ καὶ μὴ ἐμπεσεῖν εἰς χεῖρας τοῦ λαοῦ τῶν Ἰουδαίων καὶ λιθασθῆναι". 49 ἐκέλευσεν οὖν ὁ Πειλᾶτος τῷ κεντυρίωνι καὶ τοῖς στρατιώταις μηδὲν εἰπεῖν.

25 XII 50 Ὄρθρου δὲ τῆς κυριακῆς Μαριὰμ ἡ Μαγδαληνή, μαθήτρια τοῦ κυρίου (⟨ἣ⟩ φοβουμένη διὰ τοὺς
p. 9 Ἰουδαίους, ἐπειδὴ ἐφλέγοντο | ὑπὸ τῆς ὀργῆς, οὐκ ἐποίησεν ἐπὶ τῷ μνήματι τοῦ κυρίου ἃ εἰώθεσαν ποιεῖν αἱ γυναῖκες ἐπὶ τοῖς ἀποθνῄσκουσι τοῖς καὶ ἀγαπωμένοις αὐταῖς) 51 λαβοῦσα
30 μεθ' ἑαυτῆς τὰς φίλας ἦλθεν ἐπὶ τὸ μνημεῖον ὅπου ἦν τεθείς. 52 καὶ ἐφοβοῦντο μὴ ἴδωσιν αὐτὰς οἱ Ἰουδαῖοι

---

1 αυτοι C w. e. sch. | 2 ορασιν εξελθοντος C | 3 ανδρες C | 4 ακολοθουντα C | 5 τοῦ δὲ] τὴν δὲ ⟨τοῦ⟩ Wilamowitz | χειρατωτουμενου C | 6 φωνη C | 7 κοινωμενοις C κοιμωμένοις· Bennett Gebhardt | 8 f. ὅτι ναί Blass al. τὸ ναὶ Swete τιναι C | 12 κατελθον C | 13 κεντυρωνα C | 15 ἀγωνιῶντες Diels al. απανιωντες C | 18 ημιν C | 19 καὶ παρεκάλουν Harnack al. καιπερεκαλουν C | κεντυριων C | 20 μηδὲν εἰπεῖν· συμφέρει Piccolomini | μηδενὶ Zahn Wilamowitz μηδεν C | ἃ] ὧν Blass | 23 f. των κεντυριων C | 24 μηδὲν] μηδενὶ Wilamowitz ⟨μηδενὶ⟩ μηδὲν Gebhardt vgl. Mc. 1 44 | 25 ορθου C | μαγδαλινη C | 26 ἣ Wilamowitz | 28 εἰώθασιν? Wilamowitz | 29 καὶ del. Fraenkel al. | 30 ηλθε C.

καὶ ἔλεγον· „εἰ καὶ μὴ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ᾗ ἐσταυρώθη
ἐδυνήθημεν κλαῦσαι καὶ κόψασθαι, κἂν νῦν ἐπὶ τοῦ μνή-
ματος αὐτοῦ ποιήσωμεν ταῦτα. 53 τίς δὲ ἀποκυλίσει ἡμῖν
καὶ τὸν λίθον τὸν τεθέντα ἐπὶ τῆς θύρας τοῦ μνημείου,
ἵνα εἰσελθοῦσαι παρακαθεσθῶμεν αὐτῷ καὶ ποιήσωμεν τὰ 5
ὀφειλόμενα; 54 μέγας γὰρ ἦν ὁ λίθος, καὶ φοβούμεθα μή
τις ἡμᾶς ἴδῃ. καὶ εἰ μὴ δυνάμεθα, κἂν ἐπὶ τῆς θύρας
βάλωμεν ἃ φέρομεν εἰς μνημοσύνην αὐτοῦ, ⟨καὶ⟩ κλαύ-
σωμεν καὶ κοψώμεθα ἕως ἔλθωμεν εἰς τὸν οἶκον ἡμῶν“.
XIII 55 καὶ ἐπελθοῦσαι εὗρον τὸν τάφον ἠνεῳγμένον· καὶ 10
προσελθοῦσαι παρέκυψαν ἐκεῖ, καὶ ὁρῶσιν ἐκεῖ τινα νεα-
νίσκον καθεζόμενον ⟨ἐν⟩ μέσῳ τοῦ τάφου ὡραῖον καὶ
περιβεβλημένον | στολὴν λαμπροτάτην, ὅστις ἔφη αὐταῖς· p. 10
56 „τί ἤλθατε; τίνα ζητεῖτε; μὴ τὸν σταυρωθέντα ἐκεῖνον;
ἀνέστη καὶ ἀπῆλθεν· εἰ δὲ μὴ πιστεύετε, παρακύψατε καὶ 15
ἴδετε τὸν τόπον ἔνθα ἔκειτο, ὅτι οὐκ ἔστιν· ἀνέστη γὰρ
καὶ ἀπῆλθεν ἐκεῖ ὅθεν ἀπεστάλη“. 57 τότε αἱ γυναῖκες
φοβηθεῖσαι ἔφυγον. XIV 58 Ἦν δὲ τελευταία ἡμέρα τῶν
ἀζύμων, καὶ πολλοί τινες ἐξήρχοντο ὑποστρέφοντες εἰς
τοὺς οἴκους αὐτῶν τῆς ἑορτῆς παυσαμένης. 59 ἡμεῖς δὲ 20
οἱ δώδεκα μαθηταὶ τοῦ κυρίου ἐκλαίομεν καὶ ἐλυπούμεθα,
καὶ ἕκαστος λυπούμενος διὰ τὸ συμβὰν ἀπηλλάγη εἰς τὸν
οἶκον αὐτοῦ. 60 ἐγὼ δὲ Σίμων Πέτρος καὶ Ἀνδρέας ὁ
ἀδελφός μου λαβόντες ἡμῶν τὰ λίνα ἀπήλθαμεν εἰς τὴν
θάλασσαν· καὶ ἦν σὺν ἡμῖν Λευεὶς ὁ τοῦ Ἀλφαίου, ὃν 25
κύριος . . . .

Aus Origenes Comm. in Matth. X 17.

Τοὺς δὲ ἀδελφοὺς Ἰησοῦ φασί τινες εἶναι, ἐκ παρα-
δόσεως ὁρμώμενοι τοῦ κατὰ Πέτρον εὐαγγελίου ἢ τῆς
βίβλου Ἰακώβου, υἱοὺς Ἰωσὴφ ἐκ προτέρας γυναικός, συν- 30
ῳκηκυίας αὐτῷ πρὸ τῆς Μαρίας.

---

2 κοψεσθαι C | κἂν Blass al. vgl. z. 7 και C | 4 καὶ] + ἀπωθήσει Piccolomini | 6 οφιλομενα C | 8 καὶ Harnack | 8 f. κλαύσωμεν καὶ κοψώμεθα Harnack Robinson κλαυσομεν και κοψομεθα C | 10 ἐπελθοῦσαι Kunze απελθουσαι C | 11 ἐκεῖ[1]] εἴσω Piccolomini | 12 ἐν Gebhardt | 13 f. αυταιοτι C | 15 πιστευεται C | 16 ἴδετε Robinson al. ιδατε C | ἔκειτο] το übergeschr. C | ἔστιν (vgl. Mc. 16 6 Par.)] ἔνεστιν Nicholson Wilamowitz | 18 φοβηθεις C | 20 παυσαμινης C | 25 θαλλασσαν C | 25 f. ὃν ὁ κύριος Robinson.

RESTE DER PETRUSAPOKALYPSE

Das bruchstück von Akhmîm

p. 14 I 1 „. . . | πολλοὶ ἐξ αὐτῶν ἔσονται ψευδοπροφῆται, καὶ ὁδοὺς καὶ δόγματα ποικίλα τῆς ἀπωλείας διδάξουσιν· 2 ἐκεῖνοι δὲ υἱοὶ τῆς ἀπωλείας γενήσονται. 3 καὶ τότε ἐλεύσεται ὁ θεὸς ἐπὶ τοὺς πιστούς μου τοὺς πεινῶντας 5 καὶ διψῶν[τας] καὶ θλιβομένους καὶ ἐν τούτῳ τῷ βίῳ τὰς ψυχὰς ἑαυτῶν δοκιμάζοντας, καὶ κρινεῖ τοὺς υἱοὺς τῆς ἀνομίας".

II 4 Καὶ προσθεὶς ὁ κύριος ἔφη· „ἄγωμεν εἰς τὸ ὄρος, εὐξώμεθ[α]". 5 ἀπερχόμενοι δὲ μετ' αὐτοῦ ἡμεῖς οἱ 10 δώδεκα μ[α]θ[η]ταὶ ἐδεήθημεν, ὅπως δείξῃ ἡμῖν ἕνα τῶν ἀδελφῶν ἡμῶν ⟨τῶν⟩ δικαίων τῶν ἐξελθόντων ἀπὸ τοῦ κόσμου, ἵνα ἴδωμεν ποταποί εἰσι τὴν μορφὴν καὶ θαρσήσαντες παραθαρσύνωμεν καὶ τοὺς ἀκούοντας ἡμῶν ἀνθρώπους. III 6 [κ]αὶ εὐχομένων ἡμῶν ἄ[φνω] φ[αίν]ονται 15 δύο ἄνδρες ἑστῶτες ἔμπροσθε τοῦ κυρίου πρὸς ο[ὓς] οὐκ ἐδυνήθημεν ἀντιβλέψαι· 7 ἐξήρ[χ]ετο γὰρ ἀπὸ τῆς ὄψεως αὐτῶν ἀκτὶν ὡς ἡλίου καὶ φωτεινὸν ἦν αὐ[τῶν τὸ] ἔνδυμα, ὁποῖον ο[ὐ]δέποτε ὀφθαλμὸς ἀνθρώπ[ου εἶδεν· οὐδὲ γὰ]ρ στόμα δύναται ἐξηγήσασθαι ἢ κ[αρδία ἐπινοῆσα]ι τὴν δόξαν ἣν p. 15 [ἐ]νεδέδυντο καὶ τὸ κάλ[λος τῆς ὄψ]εως | αὐτῶν. 8 οὓς ἰδόντες ἐθαμβώθημεν· τὰ μὲν γὰρ σώματα αὐτῶν ἦν λευκότερα πάσης χιόνος καὶ ἐρυθρότερα παντὸς ῥόδου. 9 συνεκέκρατο δὲ τὸ ἐρυθρὸν αὐτῶν τῷ λευκῷ, καὶ ἁπλῶς οὐ δύναμαι ἐξηγήσασθαι τὸ κάλλος αὐτῶν. 10 ἥ τε γὰρ κόμη 25 αὐτῶν οὔλη ἦν καὶ ἀνθηρὰ καὶ ἐπιπρέπουσα αὐτῶν τῷ τε προσώπῳ καὶ τοῖς ὤμοις ὥσπερ εἷς στέφανος ἐκ νάρδου στάχυος πεπλεγμένος καὶ ποικίλων ἀνθῶν ἢ ὥσπερ ἶρις ἐν ἀέρι· τοιαύτη ἦν αὐτῶν ἡ εὐπρέπεια.

---

2 ποικιλοι C | διδαξωσιν C | 3 εκοινοι C | 4 τοὺς[1]] του C | 4 πινωντας (aus πισωντας) C | 5 διψον⁝ C | 8 καὶ] aus κασ C | 9 ὄρος] ορους C + καὶ James | 11 τῶν[1] Harnack | 14 ἄφνω φαίνονται vgl. s. 92 | 15 ἔμπροσθεν Gebhardt | 17 ἀκτὶς Funk | φωτινον C | 18 ἀνθρώπου εἶδεν· οὐδὲ γὰρ Lods | 19 καρδία ἐπινοῆσαι (χωρῆσαι Wilamowitz ἐκφράσαι James) Lods | 20 ἐνεδέδυντο] [ε]ν übergeschr., -δε- aus -δυ- corr. C | κάλλος τῆς ὄψεως Gebhardt vgl. z. 24 | καλω⁝ C | 21 λευκοτερον C | 23 των λευκων C | 25 ανθερα C | 26 ὡσπερεὶ Blass James ωσπερεις C vgl. epist. Lugdun. bei Euseb. h. e. V 1 36: ἐκ διαφόρων γὰρ χρωμάτων καὶ παντοίων ἀνθῶν ἕνα πλέξαντες στέφανον προσήνεγκαν τῷ πατρί | 28 τοιαυτην ην C.

IV 11 Ἰδόντες οὖν αὐτῶν τὸ κάλλος ἔκθαμβοι γεγό-
ναμεν πρὸς αὐτούς, ἐπειδὴ ἄφνω ἐφάνησαν. 12 καὶ προ-
σελθὼν τῷ κυρίῳ εἶπον· „τίνες εἰσὶν οὗτοι"; 13 λέγει
μοι· „οὗτοί εἰσιν οἱ ἀδελφοὶ ὑμῶν οἱ δίκαιοι ὧν ἠθελή-
σατε [τὰ]ς μορφὰς ἰδεῖν". 14 κἀγὼ ἔφην αὐτῷ· „καὶ ποῦ 5
εἰσι πάντες οἱ δίκαιοι ἢ ποῖός ἐστιν ὁ αἰὼν ἐν ᾧ εἰσι
ταύτην ἔχοντες τὴν δόξαν"; V 15 καὶ ὁ κύριος ἔδειξέ μοι
μέγιστον χῶρον ἐκτὸς τού[τ]ου τοῦ κόσμου ὑπέρλαμπρον
τῷ φωτί, καὶ τὸν ἀέρα τὸν ἐκεῖ ἀκτῖσιν ἡλίου καταλαμ-
πόμενον | καὶ τὴν γῆν αὐτὴν ἀνθοῦσαν ἀμαράντοις ἄνθεσι p. 16
καὶ ἀρωμάτων πλήρη καὶ φυτῶν εὐανθῶν καὶ ἀφθάρτων
καὶ καρπὸν εὐλογημένον φερόντων. 16 τοσοῦτον δὲ ἦν
τὸ ἄνθος ὡς καὶ ἐφ' ἡμᾶς ἐκεῖθεν φέρεσθαι. 17 οἱ δὲ
οἰκήτορες τοῦ τόπου ἐκείνου ἐνδεδυμένοι ἦσαν ἔνδυμα
ἀγγέλων φωτεινόν, καὶ ὅμοιον ἦν τὸ ἔνδυμα αὐτῶν τῇ 15
χώρᾳ αὐτῶν. 18 ἄγγελοι δὲ περιέτρεχον αὐτοὺς ἐκεῖσε.
19 ἴση δὲ ἦν ἡ δόξα τῶν ἐκεῖ οἰκητόρων, καὶ μιᾷ φωνῇ
τὸν κύριον θεὸν ἀνευφήμουν εὐφραινόμενοι ἐν ἐκείνῳ τῷ
τόπῳ. 20 λέγει ἡμῖν ὁ κύριος· „οὗτός ἐστιν ὁ τόπος τῶν
ἀδελφῶν ὑμῶν τῶν δικαίων ἀνθρώπων". 20

VI 21 Εἶδον δὲ καὶ ἕτερον τόπον καταντικρὺς ἐκείνου
αὐχμηρότατον. καὶ ἦν τόπος κολ[ά]σεως, καὶ οἱ κολαζό-
μενοι ἐκεῖ καὶ οἱ κολάζοντες ἄγγελοι σκοτεινὸν εἶχον ⟨τὸ
ἔνδυμα⟩ αὐτῶν, ἐνδεδυμένοι κατὰ τὸν ἀέρα τοῦ τόπου.

VII 22 Καί τινες ἦσαν ἐκεῖ ἐκ τῆς γλώσσης κρεμά- 25
μενοι· οὗτοι δὲ ἦσαν οἱ βλασφημοῦντες τὴν ὁδὸν τῆς
δικαιοσύνης, καὶ ὑπέκειτο αὐτοῖς πῦρ φλεγόμενον καὶ κολά-
ζον αὐτούς.

VIII 23 Καὶ λίμνη τις ἦν μεγάλη πεπληρωμένη
| βορβόρου φλεγομένου, ἐν ᾧ ἦσαν ἄνθρωποί τινες ἀποστρέ- p. 17

---

4 ημων C doch vgl. s. 8 11 f. u. 9 20 | 6 ἢ] l. καί? | 13 ὡς] + ὀσμὴν Usener | 15 φωτεινόν Piccolomini vgl. s. 8 17 9 21 φωτινῶ C | 16 αὐτοὺς] + κατελθόντες Piccolomini vgl. s. 5 30 | 18 ανευφημουν (aus ανεφ) C | 19 ο τοπως C | 20 ἀδελφῶν Wilamowitz Piccolomini vgl. S. 8 11 9 4 ἀρχιερέων Harnack vgl. Didache 13 3 ἀρχηγῶν Schubert al. αρχερῶ C | δικαιον C | 21 f. εταιρον τοπῶ καναντικρυς C | 22 αὐχμηρότατον Blass αὐχμηρόν, τὸν ⟨τῶν ἀδίκων⟩ Piccolomini αυχμηροντων C | κολασζομενοι C | 23 καί] κ aus ο C | σκολαζοντες (aus σχολαζοντες) C | σκοτινον C | τὸ ἔνδυμα Wilamowitz | 24 αὐτῶν ἐνδεδυμένοι Wilamowitz αὐτῶν τὸ ἔνδυμα Blass Gebhardt αυτων ενδεδυμενα C | τὸν] ν übergeschr. C | 27 διοκαιοσυνης C.

φοντες τὴν δικαιοσύνην, καὶ ἐπέκειντο αὐτοῖς ἄγγελοι βασανισταί.

IX 24 Ἦσαν δὲ καὶ ἄλλοι· γυν[αῖ]κες [τ]ῶν πλοκάμων ἐξηρτημέναι ἀνωτέρω τοῦ βορβόρο[υ] ἐκείν[ου] τοῦ
5 ἀναπαφλάζοντος· αὗτ[αι δ]ὲ ἦσαν αἱ πρὸς μοιχείαν κοσμηθεῖσαι· οἱ δὲ συμμιγ[έντ]ες αὐτῶν τῷ μιάσματι τῆς μοιχείας ἐκ τῶν ποδῶν [ἦσαν] κ[ρεμάμενοι κ]αὶ τὰς κεφαλὰς εἶχον ἐν τῷ βορβόρ[ῳ, καὶ] φ[ωνῇ μεγάλῃ] ἔλεγον· „οὐκ ἐπιστεύομεν ἐλεύσεσθαι εἰς τοῦτον τὸν τόπον“.

10 X 25 Καὶ τοὺς φονεῖς ἔβλεπον καὶ τοὺς συνειδότας αὐτοῖς βεβλημένους ἔν τινι τόπῳ τεθλιμμένῳ καὶ πεπληρωμένῳ ἑρπετῶν πονηρῶν καὶ πλησσομένους ὑπὸ τῶν θηρίων ἐκείνων καὶ οὕτω στρεφομένους ἐκεῖ ἐν τῇ κολάσει ἐκείνῃ· ἐπέκειντο δὲ αὐτοῖς σκώληκες ὥσπερ νεφέλαι σκότους. αἱ δὲ
15 ψυχαὶ τῶν πεφονευμένων ἑστῶσαι καὶ ἐφορῶσαι τὴν κόλασιν ἐκείνων τῶν φονέων ἔλεγον· „ὁ θεός, δικαία σου ἡ κρίσις“.

XI 26 Πλησίον δὲ τοῦ τόπου ἐκείνου εἶδον ἕτερον
p. 18 τόπον | τεθλιμμ[έν]ον ἐν ⟨ᾧ⟩ ὁ ἰχὼρ καὶ ἡ δυσωδία τῶν κολαζομένων κατέρρεε καὶ ὥσπερ λίμνη ἐγίνετο ἐκεῖ· κἀκεῖ
20 ἐκάθηντο γυναῖκες ἔχουσαι τὸν ἰχῶρα μέχρι τ[ῶ]ν τραχήλ[ων], καὶ ἀντικρὺς αὐτῶν πολλοὶ παῖδες, ο[ἵτινε]ς ἄωροι ἐτ[ί]κτοντο, καθήμενοι ἔκλαιον, καὶ προήρχοντο ἐξ αὐ[τῶν φλόγ]ες πυρὸς καὶ τὰς γυναῖκας ἔπλησσον κατὰ τῶ[ν] ὀφθαλμῶν· αὗται δὲ ἦσαν αἱ ἀ[γάμως τὰ βρέφη τεκο]ῦσαι
25 καὶ ἐκτρώσασαι.

XII 27 Καὶ ἕτεροι [ἄνδρες] καὶ γυναῖκ[ε]ς φλεγόμενοι ἦσαν μέχρι τοῦ ἡμίσους αὐτῶν καὶ βεβλημένοι ἐν τόπῳ σκοτεινῷ καὶ μαστιζόμενοι ὑπὸ πνευμάτων πονηρῶν καὶ ἐσθιόμενοι τὰ σπλάγχνα ὑπὸ σκωλήκων ἀκοιμήτων· οὗτοι
30 δὲ ἦσαν οἱ διώξαντες τοὺς δικαίους καὶ παραδόντες αὐτούς.

---

2 βασανισται (aus ϝανισται) C | 3 δὲ] + ἐκεῖ? Piccolomini | αλλοι C ἄλλαι Dieterich ἄλλοι ⟨ἄνδρες καὶ γυναῖκες⟩ Piccolomini | 4 εξηρτημενα C | 5 αναπαφλαζοντος (aus αναφ) C | αἱ Harnack ην C | 6 αὐταῖς Usener | μειχιας C | 7 ἦσαν κρεμάμενοι καὶ James | 8 καὶ φωνῇ μεγάλῃ Gebhardt κρυφθείσας καὶ Sudhaus | 9 ελευσεθαι C | 13 στρεφομένους] + ὥστε διασπασθῆναι? Piccolomini | 13 κολαζει C | 18 ᾧ Harnack | 21 οἵτινες James οἳ αὐταῖς Diels | 23 φλόγες James ἀκτῖνες Diels, vgl. Clem. Alex. Eclog. proph. 41 (ἀστραπὴ πυρός) s. 127 | 24 ἀγάμως τὰ βρέφη τεκοῦσαι Gebhardt ἄγαμοι συλλαβοῦσαι Dieterich vgl. Sibyllin. II 281 f. Apoc. Pauli (ed. Tisch.) v. 39 f. ἀσελγῶς συλλαβοῦσαι Piccolomini vgl. Röm. 13 13 ἀβουλήτως συλλαβοῦσαι Lods | 28 σκοτινω C.

XIII 28 Καὶ πλησίον ἐκείνων πάλιν γυναῖκες καὶ ἄνδρες μασώμενοι αὐτῶν τὰ χείλη καὶ κολαζόμενοι καὶ πεπυρωμένον σίδηρον κατὰ τῶν ὀφθαλμῶν λαμβάνοντες· οὗτοι δὲ ἦσαν οἱ βλασφημήσαντες καὶ κακῶς εἰπόντες τὴν ὁδὸν | τῆς δικαιοσύνης. p. 19

XIV 29 Καὶ καταντικρὺ τούτων ἄλλοι πάλιν ἄνδρες καὶ γυναῖκες τὰς γλώσσας αὐτῶν μασώμενοι καὶ πῦρ φλεγόμεν[ο]ν ἔχοντες ἐν τῷ στόματι· οὗτοι δὲ ἦσαν οἱ ψευδομάρτυρες.

XV 30 Καὶ ἐν ἑτέρῳ τινὶ τόπῳ χάλικες ἦσαν ὀξύτεροι ξιφῶν καὶ παντὸς ὀβελίσκου, πεπυρωμένοι· καὶ γυναῖκες καὶ ἄνδρες ῥάκη ῥυπαρὰ ἐνδεδυμένοι ἐκυλίοντο ἐπ' αὐτῶν κολαζόμενοι· οὗτοι δὲ ἦσαν οἱ πλουτοῦντες καὶ τῷ πλούτῳ αὐτῶν πεποιθότες καὶ μὴ ἐλεήσαντες ὀρφανοὺς καὶ χήρας, ἀλλ' ἀμελήσαντες τῆς ἐντολῆς τοῦ θεοῦ. 15

XVI 31 Ἐν δὲ ἑτέρᾳ λίμνῃ μεγάλῃ πεπληρωμένῃ πύου καὶ αἵματος καὶ βορβόρου ἀναζέοντος ἱστήκεισαν ἄνδρες καὶ γυναῖκες μέχρι γονάτων· οὗτοι δὲ ἦσαν οἱ δανείζοντες καὶ ἀπαιτοῦντες τόκους τόκων.

XVII 32 Ἄλλοι ἄνδρες καὶ γυναῖκες ἀπὸ κρημνοῦ 20 μεγάλου καταστρεφόμενοι ἤρχοντο κάτω καὶ πάλιν ἠλαύνοντο ὑπὸ τῶν ἐπικειμένων ἀναβῆναι ἄνω | ἐπὶ τοῦ κρημνοῦ p. 20 καὶ κατεστρέφοντο ἐκεῖθεν κάτω, καὶ ἡσυχίαν οὐκ εἶχον ἀπὸ ταύτης τῆς κολάσεως· οὗτοι δὲ ἦσαν οἱ μιάναντες τὰ σώματα ἑαυτῶν ὡς γυναῖκες ἀναστρεφόμενοι, αἱ δὲ μετ' 25 αὐτῶν γυναῖκες αὗται ἦσαν αἱ συγκοιμηθεῖσαι ἀλλήλαις ὡς ἂν ἀνὴρ πρὸς γυναῖκα.

XVIII 33 Καὶ παρὰ τῷ κρημνῷ ἐκείνῳ τόπος ἦν πυρὸς πλείστου γέμων· κἀκεῖ ἱστήκεισαν ἄνδρες οἵτινες ταῖς ἰδίαις χερσὶ ξόανα ἑαυτοῖς ἐποίησαν ἀντὶ θεοῦ. 30

XIX Καὶ παρ' ἐκείνοις ἄνδρες ἕτεροι καὶ γυναῖκες ῥάβδους πυρὸς ἔχοντες καὶ ἀλλήλους τύπτοντες καὶ μηδέποτε παυόμενοι τῆς τοιαύτης κολάσεως ⟨οὗτοι δὲ ἦσαν οἱ . . .⟩.

XX 34 Καὶ ἕτεροι πάλιν ἐγγὺς ἐκείνων γυναῖκες καὶ ἄνδρες φλεγόμενοι καὶ στρεφόμενοι καὶ τηγανιζόμενοι· 35 οὗτοι δὲ ἦσαν οἱ ἀφέντες τὴν ὁδὸν τοῦ θεοῦ | . . . .

---

3 πεπυρωμενων C | 7 αυτον C | 8 οὗτοι] ουδη C | 13 ουτο C | 17 ποιου C | βορβορω αναζεοντες C | 18 ουτο C | 19 δανιζοντες C | 20 ⟨καὶ⟩ ἄλλοι James | 21 καγω C | 30 ταῖς] τας C | 33 οὗτοι δὲ ἦσαν οἱ . . . Dieterich | 36 οἱ ἀφέντες Gebhardt ηαφθαντες C.

Andere bruchstücke

1 Clemens Alex. Ecl. proph. 41; vgl. oben s. 10, 21 f.

Ἡ γραφή φησι· τὰ βρέφη τὰ ἐκτεθέντα τημελούχῳ παραδίδοσθαι ἀγγέλῳ, ὑφ' οὗ παιδεύεσθαί τε καὶ αὔξειν, καὶ ἔσονται, φησίν, ὡς οἱ ἑκατὸν ἐτῶν ἐνταῦθα πιστοί. διὸ
5 καὶ Πέτρος ἐν τῇ ἀποκαλύψει φησί·

καὶ ἀστραπὴ πυρὸς πηδῶσα ἀπὸ τῶν βρεφῶν ἐκείνων καὶ πλήσσουσα τοὺς ὀφθαλμοὺς τῶν γυναικῶν.

2 Clemens Alex. Ecl. proph. 48 f.

Αὐτίκα ὁ Πέτρος ἐν τῇ ἀποκαλύψει φησὶν
10 τὰ βρέφη ⟨τὰ⟩ ἐξαμβλωθέντα τῆς ἀμείνονος ἐσόμενα μοίρας ταῦτα ἀγγέλῳ τημελούχῳ παραδίδοσθαι, ἵνα γνώσεως μεταλαβόντα τῆς ἀμείνονος τύχῃ μονῆς, παθόντα ἃ ἂν ἔπαθεν καὶ ἐν σώματι γενόμενα.

τὰ δ' ἕτερα μόνης τῆς σωτηρίας τεύξεται, ὡς ἠδικημένα
15 ἐλεηθέντα καὶ μενεῖ ἄνευ κολάσεως, τοῦτο γέρας λαβόντα.

49 τὸ δὲ γάλα τῶν γυναικῶν ῥέον ἀπὸ τῶν μαστῶν καὶ πηγνύμενον

φησὶν ὁ Πέτρος ἐν τῇ ἀποκαλύψει

γεννήσει θηρία λεπτὰ σαρκοφάγα καὶ ἀνατρέχοντα εἰς
20 αὐτὰς κατεσθίει

διὰ τὰς ἁμαρτίας γίνεσθαι τὰς κολάσεις διδάσκων.

3 Methodius sympos. II 6. (?)

Ὅθεν δὴ καὶ τημελούχοις ἀγγέλοις κἂν ἐκ μοιχείας ὦσιν τὰ ἀποτικτόμενα παραδίδοσθαι παρειλήφαμεν ἐν θεο-
25 πνεύστοις γράμμασιν· εἰ γὰρ παρὰ τὴν γνώμην ἐγίνοντο καὶ τὸν θεσμὸν τῆς μακαρίας ἐκείνης φύσεως τοῦ θεοῦ, πῶς ἀγγέλοις ταῦτα παρεδίδοτο τραφησόμενα μετὰ πολλῆς ἀναπαύσεως καὶ ῥᾳστώνης; πῶς δὲ καὶ κατηγορήσοντα σφῶν αὐτῶν τοὺς γονεῖς εὐπαρρησιάστως εἰς τὸ δικα-
30 στήριον ἐκίκλησκον τοῦ Χριστοῦ „σὺ οὐκ ἐφθόνησας ἡμῖν, ὦ κύριε, τὸ κοινὸν“, λέγοντα, „τοῦτο φῶς, οὗτοι δὲ ἡμᾶς εἰς θάνατον ἐξέθεντο καταφρονήσαντες τῆς ἐντολῆς“;

4 Der von Macarius Magnes bekämpfte heidnische schriftsteller (Porphyrius?), Macar. IV 6; 16.

---

5 ὡσ οἱ] ὡσεὶ Preuschen | 11 τὰ[2] Zahn | μοίρας Hoeschel vgl. Plato Phaedr. 248[e] πείρας L | 12 ταῦτα] ταύτης Bunsen | παραδίδοται Zahn | 16 μενεῖ Stählin μένει L | τοῦτο] + τὸ Bunsen.

Περιουσίας δ' ἕνεκεν λελέχθω κἀκεῖνο τὸ λελεγμένον ἐν τῇ ἀποκαλύψει τοῦ Πέτρου. εἰσάγει τὸν οὐρανὸν ἅμα τῇ γῇ κριθήσεσθαι οὕτως·

ἡ γῆ

φησί 5

παραστήσει πάντας τῷ θεῷ κρινουμένους ἐν ἡμέρᾳ κρίσεως καὶ αὐτὴ μέλλουσα κρίνεσθαι σὺν καὶ τῷ περιέχοντι οὐρανῷ.

5 Derselbe, Macar. IV 7.

Καὶ ἐκεῖνο δ' αὖθις λέγει, ὃ καὶ ἀσεβείας μεστὸν ὑπάρχει, 10 τὸ ῥῆμα φάσκον·

καὶ τακήσεται πᾶσα δύναμις οὐρανοῦ καὶ ἑλιχθήσαται ὁ οὐρανὸς ὡς βιβλίον, καὶ πάντα τὰ ἄστρα πεσεῖται ὡς φύλλα ἐξ ἀμπέλου καὶ ὡς πίπτει φύλλα ἀπὸ συκῆς.

RESTE DES KERYGMA PETRI 15

1 Clemens Alex. Strom. I 29 182.

Ἐν δὲ τῷ Πέτρου κηρύγματι εὕροις ἂν

νόμον καὶ λόγον

τὸν κύριον προσαγορευόμενον.

2 Clemens Alex. Strom. VI 5 39—41. 20

Ὅτι δὲ οὐ κατ' ἐπίγνωσιν ἴσασι τὸν θεὸν ἀλλὰ κατὰ περίφασιν Ἑλλήνων οἱ δοκιμώτατοι, Πέτρος ἐν τῷ κηρύγματι λέγει·

γινώσκετε οὖν ὅτι εἷς θεός ἐστιν, ὃς ἀρχὴν πάντων ἐποίησεν, καὶ τέλους ἐξουσίαν ἔχων 25

---

18 ff. Vgl. Clem. Alex. Strom. II 15 68: ὁ Πέτρος ἐν τῷ κηρύγματι νόμον καὶ λόγον τὸν κύριον προσεῖπεν und Ecl. proph. 58: Νόμος καὶ λόγος αὐτὸς ὁ σωτὴρ λέγεται, ὡς Πέτρος ἐν κηρύγματι.

26 ff. Vgl. Clem. Alex. Strom. VI 7 58: Εἷς γὰρ τῷ ὄντι ἐστὶν ὁ θεός, ὃς ἀρχὴν τῶν ἁπάντων ἐποίησεν (μηνύων τὸν πρωτόγονον υἱόν) ὁ Πέτρος γράφει συνεὶς ἀκριβῶς τὸ „ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν".

2 εἰσάγων Wendland | 6 κρινουμένους Dieterich κρινομένους IV 16 (om. IV 6) | 7 μέλλουσα καὶ αὐτὴ IV 16 | 21 περίφρασιν Lowth περίστασιν Wendland.

καὶ·

ὁ ἀόρατος ὃς τὰ πάντα ὁρᾷ, ἀχώρητος ὃς τὰ πάντα
χωρεῖ, ἀνεπιδεὴς οὗ τὰ πάντα ἐπιδέεται καὶ δι' ὅν ἔστιν·
ἀκατάληπτος, ἀέναος, ἄφθαρτος, ἀποίητος ὃς τὰ πάντα
5 ἐποίησεν λόγῳ δυνάμεως αὐτοῦ

τῆς γνωστικῆς ἀρχῆς, τουτέστι τοῦ υἱοῦ. εἶτα ἐπιφέρει·

τοῦτον τὸν θεὸν σέβεσθε μὴ κατὰ τοὺς Ἕλληνας

ὡς δηλονότι τὸν αὐτὸν ἡμῖν σεβόντων θεὸν καὶ τῶν παρ'
Ἕλλησι δοκίμων, ἀλλ' οὐ κατ' ἐπίγνωσιν παντελῆ, τὴν δι'
10 υἱοῦ παράδοσιν μὴ μεμαθηκότων. μὴ τοίνυν, φησί,

σέβεσθε·

οὐκ εἶπεν· θεὸν ὃν οἱ Ἕλληνες, ἀλλὰ

μὴ κατὰ τοὺς Ἕλληνας

τὸν τρόπον τὸν τῆς σεβάσεως ἐναλλάττων τοῦ θεοῦ, οὐχὶ
15 δὲ ἄλλον καταγγέλλων. 40 τί οὖν ἐστι τὸ

μὴ κατὰ τοὺς Ἕλληνας

αὐτὸς διασαφήσει Πέτρος ἐπιφέρων·

ὅτι ἀγνοίᾳ φερόμενοι καὶ μὴ ἐπιστάμενοι τὸν θεὸν ὡς ἡμεῖς
κατὰ τὴν γνῶσιν τὴν τελείαν, ὧν ἔδωκεν αὐτοῖς ἐξου-
20 σίαν εἰς χρῆσιν μορφώσαντες, ξύλα καὶ λίθους, χαλκὸν
καὶ σίδηρον, χρυσὸν καὶ ἄργυρον, τῆς ὕλης αὐτῶν καὶ
χρήσεως ⟨ἐπιλαθόμενοι⟩, τὰ δοῦλα τῆς ὑπάρξεως ἀναστή-
σαντες σέβονται καὶ ἃ ἔδωκεν αὐτοῖς εἰς βρῶσιν ὁ θεός,
πετεινὰ τοῦ ἀέρος καὶ τῆς θαλάσσης τὰ νηκτὰ καὶ τῆς γῆς
25 τὰ ἑρπετὰ καὶ τὰ θηρία σὺν κτήνεσι τετραπόδοις τοῦ ἀγροῦ,
γαλᾶς τε καὶ μῦς, αἰλούρους τε καὶ κύνας καὶ πιθήκους,
καὶ τὰ ἴδια βρώματα βρωτοῖς θύματα θύουσιν καὶ νεκρὰ

---

7 ff. Vgl. Orig. Comm. in Io. XIII 17: Πολὺ δέ ἐστι νῦν παρατίθεσθαι τοῦ Ἡρακλέωνος τὰ ῥητὰ ἀπὸ τοῦ ἐπιγεγραμμένου Πέτρου κηρύγματος παραλαμβανόμενα καὶ ἵστασθαι πρὸς αὐτὰ ἐξετάζοντας καὶ περὶ τοῦ βιβλίου, πότερόν ποτε γνήσιόν ἐστιν ἢ νόθον ἢ μικτόν· διόπερ ἑκόντες ὑπερτιθέμεθα ταῦτα μόνον ἐπισημειούμενοι, φέρειν αὐτὸν ὡς Πέτρου διδάξαντος, μὴ δεῖν καθ' Ἕλληνας προσκυνεῖν, τὰ τῆς ὕλης πράγματα ἀποδεχομένους καὶ λατρεύοντας ξύλοις καὶ λίθοις· μηδὲ (μήτε cod.) κατὰ Ἰουδαίους σέβειν τὸ θεῖον, ἐπείπερ καὶ αὐτοὶ μόνοι οἰόμενοι ἐπίστασθαι θεὸν ἀγνοοῦσιν αὐτὸν λατρεύοντες ἀγγέλοις καὶ μηνὶ καὶ σελήνῃ.

6 ἀρχῆς vgl. Orig. Hom. 11 in Gen. γραφῆς L (Hebräerbrief? vgl. Hebr. 13) | 10 μη[1] L[2] om L* | φησί] φασί L | 14 σεβήσεως L | 17 ὁ Πέτρος Preuschen | 19 ὧν Potter ἦν L | 21 ἐπιλαθόμενοι Stählin | 25 καὶ τὰ zu streichen? Stählin | 26 ἐλούρους L | 27 βρωτοῖς Potter vgl. Aristid. Apol. 12 βροτοῖς L.

νεκροῖς προσφέροντες ὡς θεοῖς ἀχαριστοῦσι τῷ θεῷ διὰ τούτων ἀρνούμενοι αὐτὸν εἶναι.

41 καὶ ὅτι γε ὡς τὸν αὐτὸν θεὸν ἡμῶν τε αὐτῶν καὶ Ἑλλήνων ἐγνωκότων φέρεται πλὴν οὐχ ὁμοίως, ἐποίσει πάλιν ὧδέ πως· 5

μηδὲ κατὰ Ἰουδαίους σέβεσθε· καὶ γὰρ ἐκεῖνοι μόνοι οἰόμενοι τὸν θεὸν γινώσκειν οὐκ ἐπίστανται, λατρεύοντες ἀγγέλοις καὶ ἀρχαγγέλοις, μηνὶ καὶ σελήνῃ. καὶ ἐὰν μὴ σελήνη φανῇ, σάββατον οὐκ ἄγουσι τὸ λεγόμενον πρῶτον, οὐδὲ νεομηνίαν ἄγουσιν οὔτε ἄζυμα οὔτε ἑορτὴν 10 οὔτε μεγάλην ἡμέραν.

εἶτα τὸν κολοφῶνα τοῦ ζητουμένου προσεπιφέρει·

ὥστε καὶ ὑμεῖς ὁσίως καὶ δικαίως μανθάνοντες ἃ παραδίδομεν ὑμῖν, φυλάσσεσθε καινῶς τὸν θεόν, διὰ τοῦ Χριστοῦ σεβόμενοι· εὕρομεν γὰρ ἐν ταῖς γραφαῖς καθὼς 15 ὁ κύριος λέγει· „ἰδοὺ διατίθεμαι ὑμῖν καινὴν διαθήκην, οὐχ ὡς διεθέμην τοῖς πατράσιν ὑμῶν ἐν ὄρει Χωρήβ“. νέαν ὑμῖν διέθετο· τὰ γὰρ Ἑλλήνων καὶ Ἰουδαίων παλαιά, ὑμεῖς δὲ οἱ καινῶς αὐτὸν τρίτῳ γένει σεβόμενοι Χριστιανοί. 20

3 Clemens Alex. Strom. VI 5 43; 6 48.

Διὰ τοῦτό φησιν ὁ Πέτρος εἰρηκέναι τὸν κύριον τοῖς ἀποστόλοις·

ἐὰν μὲν οὖν τις θελήσῃ τοῦ Ἰσραὴλ μετανοῆσαι ⟨καὶ⟩ διὰ τοῦ ὀνόματός μου πιστεύειν ἐπὶ τὸν θεόν, ἀφεθήσονται αὐτῷ αἱ ἁμαρτίαι. μετὰ δώδεκα ἔτη ἐξέλθετε εἰς τὸν κόσμον, μή τις εἴπῃ· „οὐκ ἠκούσαμεν“ 25

48 αὐτίκα ἐν τῷ Πέτρου κηρύγματι ὁ κύριός φησι πρὸς τοὺς μαθητὰς μετὰ τὴν ἀνάστασιν·

ἐξελεξάμην ὑμᾶς δώδεκα μαθητὰς κρίνας ἀξίους ἐμοῦ, 30 οὓς ὁ κύριος ἠθέλησεν, καὶ ἀποστόλους πιστοὺς ἡγησάμενος εἶναι, πέμπων ἐπὶ τὸν κόσμον εὐαγγελίσασθαι τοὺς κατὰ τὴν οἰκουμένην ἀνθρώπους γινώσκειν ὅτι εἷς θεός ἐστιν διὰ τῆς τοῦ Χριστοῦ πίστεως ἐμῆς δηλοῦντας τὰ μέλλοντα, ὅπως οἱ ἀκούσαντες καὶ πιστεύσαντες σωθῶσιν, οἱ δὲ μὴ πιστεύσαντες ἀκούσαντες μαρτυρήσωσιν, 35 οὐκ ἔχοντες ἀπολογίαν εἰπεῖν· „οὐκ ἠκούσαμεν“ ......

10 ⟨σκηνῶν⟩ ἑορτὴν Diels ἑορτὴν⟨τῆς πεντεκοστῆς⟩ Preuschen | 14 θν̄ L[1] χν̄ L* | 18 f. ἡμῖν .... ἡμεῖς Sylburg | 24 μετανοήσας διὰ Sylburg | καὶ Stählin | 34 τοῦ Χριστοῦ streicht Preuschen | 34 ἐμῆς] ἐμφανῶς Potter | 36 μαρτυρηθῶσιν Hilgenfeld τιμωρηθῶσιν Wendland.